κεῖται δέ σφιν ἀγὼν οὐ χαλκέου ἀμφὶ λέβητος,
  ἀλλ' ὅστις ζωὰν οἴσεται ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα, πρέπει δ' Ἡρακλέα νικᾶν
  τὸν Διός. Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

## IX

ὡς πρέπει Ἄρτεμίς εἰμ'· εὖ δ' Ἄρτεμιν αὐτὸς ὁ χαλκός
  μανύει Ζηνὸς κοὐχ ἑτέρου θύγατρα.
τεκμαίρου τὸ θράσος τᾶς παρθένου· ἦ ῥά κεν εἴποις
  "πᾶσα χθὼν ὀλίγον τᾷδε κυναγέσιον."

## X

αὐτόμαται δείλῃ ποτὶ ταὔλιον αἱ βόες ἦλθον
  ἐξ ὄρεος πολλῇ νειφόμεναι χιόνι·
αἰαῖ Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
  ὕπνον· ἐκοιμήθη δ' ἐκ πυρὸς οὐρανίου.

# GLAUCUS

## I

ἦν ὅτε παῖδας ἔπειθε πάλαι ποτὲ δῶρα φιλεῦντας
  ὄρτυξ καὶ ῥαπτὴ σφαῖρα καὶ ἀστράγαλοι·
νῦν δὲ λοπὰς καὶ κέρμα, τὰ παίγνια δ' οὐδὲν ἐκεῖνα
  ἰσχύει. ζητεῖτ' ἄλλο τι, παιδοφίλαι.